Herrn Prof. Wolters mit schönem Gruß für die Fundberichte, die Ergebnisse

7/XII 99. Χαίρειν πολλά τόν ἄριστον φίλον καί σοφόν ἀρχαιολόγον Φρειδερῖκον Ἴλαρον Στυλιανός Σαριδάκης, ὁ ἰατρός.

Ἡ ἀπό τρίτης Νοεμβρίου ἐπιστολή σου χαρᾶς ἐνέπλησέ με ἀγγέλλουσα τήν εἰς τήν γενικήν πατρίδα σου αἰσίαν ἐπάνοδον, μετά μακράν καί λίαν ἐπωφελεστάτην ἀποδημίαν. Πολλά γάρ ἀποκαλύψας καί εἰς φῶς ἀγαγών ἐκ τῶν τῆς γῆς ἐγκάτων καί κεκαλυμμένων ὠφελιμώτατος ἀνήρ τυγχάνει τῇ τε ἐπιστήμῃ καί τῇ ἀνθρωπότητι. Εὔχομαι δέ ὅπως καί σύ καί ἡ παιδεία διάγοντες ἐν τῇ σοφῇ Γερμανίᾳ, ἔνθα

οὐκ ἔστι φθόνος καὶ προσωποληψία, ἐπιτιμῶντες τὰ σὰ ἔργα ἀποδοῖεν δικαίαν ἀμοιβήν, ὥσπερ τὸ φίλον ἦτορ σου ποθεῖ.

Περὶ τῶν ἀντιγράφων καὶ ἐκτυπωμάτων ἀδύνατον ποιῆσαι τι ἄμεινον τοῦ τέως γενομένου. ὁ γὰρ Χατζῆ-Χαβούζης οἰκοδομήσας ἐν τῷ ἀγρῷ αὐτοῦ ἐχρήσατο τῷ λίθῳ, καὶ ἔθηκεν αὐτὸν οὕτως, ὥστε ἡ ἐπιγραφὴ ἀπρόσιτος γίνεται, εἰ μὴ τις καταφορᾷ καταβάλῃ τὸν τοῖχον, ὡς καὶ ἄλλοτε ἔγραψά σοι. ἀλλὰ καὶ ὁ ἕτερος λίθος, ὁ περὶ ὀλυμπιαστῶν καὶ Σεραπιδῶν, τὴν αὐτὴν ἔσχε τύχην. μετενεχθεὶς γὰρ

εἰς τὸ ἑβραϊκὸν ταφεῖον ἐτέθη καὶ ἐκαλύφθη μετὰ καὶ ἄλλων λίθων μεγάλων ἐπιτάφιον οὕτως, ὥστε καὶ ἐνεπίγραφα τοῦ λίθου πλευρὰ διατελεῖ κατορωρυγμένη.

Εὐχαρίστως πέμπω σοι σήμερον περιγραφὰς ἀρχαίων πραγμάτων, καὶ αὐτὰς εὑρεθέντων. ἀπεκαλύφθη γὰρ ἐν Καρυαῖς, κατὰ τὸ χωρίον Κεγχρεάκιον, σορὸς παναρχαία ἐξ ἐρυθρᾶς ὀπτῆς γῆς, πλινθώδους, στιλπνὰς καὶ βαρείας. ἔχει διάμετρον δυοῖν γαλλικῶν μέτρων καὶ τι πρός. τὸ τῶν παρειῶν πάχος ἐστὶ 1/α ἑκατοστῶν, καὶ ἔχει βάρος ἑπτὰ ταλάντων, ἤτοι ὀκάδων 150.

τὸ πλάτος κατὰ τὸ κεφαλαῖον ἄκρον
ἐστὶ τριῶν σπιθαμῶν, τὸ δὲ ποδικόν
δυοῖν καὶ ἡμισείας. τὸ τῆς λάρνα-
κος βάθος ἐστὶ μιᾶς σπιθαμῆς καὶ
ἡμισείας. φέρει δὲ αὕτη διάφορα
κοσμήματα, οἷον στρεπτά, γυλίς,
μαιάνδρους καὶ ἄλλα. πρὸς δὲ
καὶ δύο πτερορθίας, ὧν ἡ ἑτέρα
αἴρει ἐν ὕψει τὸν δεξιὸν πρόσθι-
ον πόδα. ἔχει δὲ ἡ σορὸς καὶ
δύο ἀνθρώπινα πρόσωπα, τὸ μὲν
ἀνδρικόν, τὸ δὲ γυναικεῖον. τὸ
πρῶτον εἰκονίζει ἄνδρα νέον,
σφηνοειδῆ πώγωνα φέροντα, καὶ
φέροντα μικρὸν κράνος. τὸ
δεύτερον παριστάνει νέαν γυναῖ-
κα, φέρουσαν κόμην μα-

κράν. ὁ τῆς ῥινὸς τύπος ἀμφοτέρων,
ἑλληνικός. ταῦτα ἐπὶ τῆς ἐξωτερικῆς
ἐπιφανείας τῆς λάρνακος. ἐπὶ δὲ τῆς
ἐσωτερικῆς, πρὸς τὸ κεφαλαῖον ἄ-
κρον, ὅπου σῴζονται ἴχνη ἀμυδρὰ ἀν-
δρικῆς κεφαλῆς, φερούσης στέμμα
λίαν ἐοικὸς τοῖς νῦν βασιλείοις
στέμμασιν. Ἡ σορὸς ἀνήκει, κατ'
ἐμὴν κρίσιν, τοῖς φοινικικοῖς
χρόνοις. ὁ ταύτης κτήτωρ ἀπαιτεῖ
τό γε νῦν, ἐχεμυθίαν, ἄχρι νεω-
τέρας ἀδείας. ἀποστέργει δηλονότι
τὴν διὰ τῶν ἐφημερίδων δη-
μοσίευσιν τῆς εὑρέσεως. ὑπό-
σχεται δὲ παρέξειν ἡμῖν καὶ

φωτοτυπίαν τοῦ εὑρήματος.

Πάντες οἱ ἐν τῷ οἴκῳ μου εὔχονται καὶ σοὶ τὰ βέλτιστα.

Ἔρρωσο καὶ μέγα αὖθις χαῖρε.

Ἔγραψα ἐν Ῥόδῳ, τῇ 3ῃ Νοεμβρίου, τοῦ ἔτους 1899.

Υ. Γ.

Τὰς περιγραφὰς ταύτας, εἰ κρίνῃς καλὸν καὶ ἀδάπανον, δημοσίευσον ἔν τινι ἐπιστημονικῷ περιοδικῷ.